## Συναξάριον

Τῇ ΙΑ΄ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν Ἁγίων Ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.

### Στίχοι

#### Εἰς τὸν Βαρθολομαῖον.

Καὶ σὸς μαθητής, Χριστέ, Βαρθολομαῖος,
Μιμούμενός σε, σταυρικὸν φέρει πάθος.

#### Εἰς τὸν Βαρνάβαν.

Ὑπὲρ λίθον σάπφειρον, ὡς γραφὴ λέγει,
Τοὺς συντρίβοντας εἶχε Βαρνάβας λίθους.
Ἑνδεκάτῃ σταύρωσαν ἐρίφρονα Βαρθολομαῖον.

Τούτων ὁ μὲν Ἅγιος Βαρθολομαῖος εἷς ἦν τῶν δώδεκα μαθητῶν· ὃς Ἰνδοῖς, τοῖς καλουμένοις Εὐδαίμοσι κηρύξας, καὶ τὸ κατὰ Ματθαῖον αὐτοῖς παραδοὺς Εὐαγγέλιον, σταυρῷ παραδοθεὶς ἐν Ἀλβανουπόλει, τελειοῦται ἐνδόξως· καὶ ἐν μολυβδίνῃ λάρνακι τεθεὶς τῇ θαλάσσῃ ἐναπορρίπτεται. Ὑπὸ δὲ θείας προνοίας, μέχρι Σικελίας, ἐν Λιπάρει τῇ νήσῳ κομισθείς, καὶ φανερωθείς, ἐκεῖ θάπτεται πολλῶν θαυμάτων, ὡς ἔκ τινος πηγῆς, ἐκ τῆς ἁγίας καὶ τιμίας αὐτοῦ σοροῦ ἀναδιδομένων, καὶ πᾶσι τοῖς πιστῶς προσερχομένοις ταχεῖαν διδόντων τὴν ἴασιν καὶ πρὸς τὰ οἰκεῖα μετ' εὐφροσύνης καὶ θυμηδίας ἐπανιέναι ποιούντων.

Ὁ δέγε Βαρνάβας(ἑρμηνεύεται τοῦτο τὸ ὄνομα Υἱὸς Παρακλήσεως), ὃς καὶ Ἰωσῆς ἐν ταῖς τῶν Ἀποστόλων πράξεσιν ἀναγέγραπται, εἷς τῶν ἑβδομήκοντα ὑπάρχων, συνέκδημος Παύλου χειροτονεῖται, ἐκ φυλῆς μὲν Λευΐ ὁρμώμενος, κατὰ τὴν Κύπρον δὲ νῆσον γεννηθεὶς καὶ τραφείς. Οὗτος πρῶτον ἐν Ἱερουσαλήμ, εἶτα καὶ ἐν Ῥώμῃ καὶ Ἀλεξανδρείᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Καὶ ἀπελθὼν ἐν Κύπρῳ ὑπό τε Ἰουδαίων καὶ Ἑλλήνων λίθοις κτείνεται καὶ πυρὶ παραδίδοται. Ὃν Μάρκος ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς συγκομίσας, ἔθετο ἐν σπηλαίῳ καὶ ἐκπλεύσας εἰς Ἔφεσον πρὸς Παῦλον, ἀνήγγειλεν αὐτῷ τὴν τελείωσιν Βαρνάβα· ἔκλαυσε δὲ αὐτὸνΜάρκος ἐπὶ πολύ· Οὗτος λέγεται τεθάφθαι ἅμα τῷ ὑπ' αὐτοῦ γραφέντι κατὰ Ματθαῖον Εὐαγγελίῳ, τῷ καὶ ἐσύστερον εὑρεθέντι μετὰ τοῦ ἀποστολικοῦ σώματος. Ὅθεν καὶ προνόμιον ἔλαβον οἱ πιστοί, μὴ ὑποκεῖσθαι τινὶ τῶν ἄλλων Ἐπισκόπων ταύτην τὴν νῆσον, ἀλλ' ὑπὸ τοῦ ἰδίου Ἐπισκόπου χειροτονεῖσθαι.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ Σύναξις τελεῖται τοῦ Ἀρχαγγέλου Γαβριὴλ ἐν τῷ Ἄδειν.

### Στίχος

Ἦσας Γαβριὴλ πρὶν τὸ Χαῖρε τῇ Κόρῃ,
Ἄδεις δὲ καὶ νῦν, Ἄξιόν σε ὑμνέειν.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.